# Okellos (Okkelos)

Testimonia DK 47

**A 1** = Iamblichos, Vita Pyth. 267
Λευκανοὶ Ὄκκελος καὶ Ὄκκιλος ἀδελφοί. Βυνδάκου ἀδελφή, Ὀκκελὼ καὶ Ἐκκελὼ τὼ Λευκανώ.

**A 2** = Censorinus 4, 3
sed prior illa sententia qua semper humanum genus fuisse creditur auctores habet Pythagoran Samium et Occelum Lucanum et Archytan Tarentinum omnesque adeo Pythagoricos.

**A 3** = Filón Alex., De aeternitate mundi 5, 2 Cumont
ἔνιοι δ᾿ οὐκ Ἀριστοτέλην τῆς δόξης εὑρετὴν λέγουσιν ἀλλὰ τῶν Πυθαγορείων τινάς. ἐγὼ δὲ καὶ Ὀκέλλου συγγράμματι, Λευκανοῦ γένος, ἐπιγραφομένωι Περὶ τῆς τοῦ παντὸς φύσεως ἐνέτυχον, ἐν ὧι ἀγένητόν τε καὶ ἄφθαρτον οὐκ ἀπεφαίνετο μόνον, ἀλλὰ καὶ δι᾿ ἀποδείξεων κατεσκεύαζε τὸν κόσμον εἶναι.

**A 3a** = Sextos Empeirikos, Adversus mathem. X, 316
ἐκ πέντε δὲ [ἐγέννησαν τὰ πάντα] Ὄκκελος ὁ Λευκανὸς καὶ Ἀριστοτέλης· συμπαρέλαβον γὰρ τοῖς τέσσαρσι στοιχείοις τὸ πέμπτον καὶ κυκλοφορητικὸν σῶμα ἐξ οὗ λέγουσιν εἶναι τὰ οὐράνια.

**A 4** = Diogenés Laertios, Vitae philosophorum VIII, 80
καλῶς ποιεῖς ὅτι ἀποπέφευγας ἐκ τᾶς ἀρρωστίας. ταῦτα γὰρ αὐτός τυ ἐπέσταλκας καὶ τοὶ περὶ Λαμίσκον ἀπάγγελον. περὶ δὲ τῶν ὑπομνημάτων ἐπεμελήθημες καὶ ἀνήλθομες ὡς Λευκανὼς καὶ ἐνετύχομες τοῖς Ὀκκέλω ἐκγόνοις. τὰ μὲν ὦν Περὶ νόμω καὶ Βασιλήίας καὶ Ὁσιότατος καὶ τᾶς τῶ παντὸς γενέσιος αὐτοί τε ἔχομες καὶ τὶν ἀπεστάλκαμες ...
(81) τὰ μὲν παρὰ σοῦ ἐλθόντα ὑπομνήματα θαυμαστῶς ἄσμενοί τε ἐλάβομεν καὶ τοῦ γράψαντος αὐτὰ ἠγάσθημεν ὡς ἔνι μάλιστα, καὶ ἔδοξεν ἡμῖν ἀνὴρ ἄξιος ἐκείνων τῶν παλαιῶν προγόνων. λέγονται γὰρ δὴ οἱ ἄνδρες οὗτοι Μυραῖοι εἶναι (οὗτοι δ᾿ ἦσαν τῶν ἐπὶ Λαομέδοντος ἐξαναστάντων Τρώων), ἄνδρες ἀγαθοί, ὡς ὁ παραδεδομένος μῦθος δηλοῖ ...

**A 5** = Syrianos, In Metaphysica 175, 7 Kroll
οὔτε τὸν περὶ τῶν αἰσθητῶν λόγον πάντηι παρελίμπανον ὡς δηλοῖ τὰ Ἐκέλλου μὲν Περὶ τᾶς τῶ παντὸς φύσιος, ἐξ ὧν τὰ Περὶ γενέσεως καὶ φθορᾶς μονονουχὶ μεταβεβλῆσθαι δοκεῖ, τοῦ Τιμαίου δὲ τὰ πλεῖστα [!].

**A 6** /1 = Stobaios, Anthologium I, 20, 3 Wachsmuth
᾿Οκέλλου.
῎Οκελλος ἀΐδιον τὸν κόσμον· ὡδὶ γὰρ ἐν τοῖς Περὶ τᾶς τῶ παντὸς φύσιος (I, 15 phil. Gr. I; 393n Mullach.) λέγει·

**A 6** /2 = Stobaios, Anthologium I, 13, 2 Wachsmuth
᾿Οκέλλου.
῎Οκελλος ἔφησεν εἶναι αἴτιον δι᾿ ὃ γίγνεταί τι. λέγει γὰρ ἐν τῷ Περὶ νόμου (Fr. phil. Gr. I; 407 Mullach.) οὕτως· (cfr. Fr. 1)

**A 7** žádný není

**A 8** = Ióannés Lydus, De mensibus II, 8; 27, 4 W. (cfr. Fr. 3)
ἴσμεν γάρ, ὅτι ἡ τριὰς τὴν τῶν θείων πρόοδον ἐκίνησε καὶ στάσιν αὐτοῖς τὴν αἰώνιον ἀπειργάσατο ἐν τῶι αὐτῶι εἴδει, ὥς φησιν ῎Οκελλος ὁ Πυθαγόρειος ῥήμασι τούτοις·
᾿ἡ τριὰς πρώτη συνέστησεν ἀρχήν, μεσότητα καὶ τελευτήν᾿.

Stobaios, Anthologium I, 26, 1e Wachsmuth:
῾Ηρακλείδης καὶ ῎Οκελλος γῆν ὁμίχλῃ περιεχομένην.